Fuerat enim antiqua ciuitatum gubernatio rationabiliter paucorum,& regia:propter paucitatem enim hominum non erat magnus numerus mediocrium. itaq.pauci cùm eſſent multitudine & inſtitutione,magis ferebant ab aliis gubernari.Quã igitur ob cauſam plures ſunt rerumpublicarum formæ, & quamobrem præter eas quæ dicuntur aliæ ſint(neque enim popularis gubernationis vna eſt ſpecies.nec aliarum ſimiliter) ac præterea quæ differentiæ ſint inter eas,&quare accidat &inſuper quæ ſit optima reſpublica, & vt plurimum dici poſſit,&aliarum qualis qualibus congruat,dictum eſt.

CAPVT XIIII.

RVrſus autem & communiter & ſeparatim de vnaquaque dicemus, eorum quæ poſt hoc ſequuntur, conuenienti ſumpto principio. Sunt ergo tres partes omnium rerumpublicarum in ſingulis, quarum ſtudioſus legis poſitor conſiderare debet vtilitatem : quibus benè ſe habentibus, neceſſe eſt rempublicam benè ſe habere, & gubernandi formas inter ſe differre, in eo quòd ſingulæ iſtarum differunt. Harum trium partium vna eſt quæ verſatur in publicis conſiliis. Altera in magiſtratibus, hoc eſt quos eſſe oportet, & quam poteſtatem habere, & quemadmodum debeant creari. Tertia pars in iudiciis conſiſtit. Ea pars quæ conſulit, autoritatem habet de bello &pace, de ſocietate belli ineunda vel diſſoluenda, de legibus ferendis vel abrogandis, de morte, de exilio, de publicatione bonorum, & rationibus repoſcendis. Neceſſe eſt enim vel omnibus ciuibus hæc omnia decernenda tribuere, vel quibuſdam, ceu vni cuidam magiſtratui, aut vniuerſalibus, vel aliis alia : vel quædam illorum omnibus, quædam quibuſdam. Omnia igitur & de omnibus populare eſt: talem enim æqualitatem affectat populus. Sunt autem plures huiuſmodi. Vnus ſi ſingulariter & non ſimul omnes: vt eſt in republica Teleclei Mileſij,& in aliis rebuſpublicis, deliberant magiſtratus ſimul collecti. ad magiſtratum verò vadunt omnes ſingulatim ex tribubus & partibus etiam minutis,donec tranſeat per omnes. congregatur autem populus, ſolummodo pro legibus ferendis, & pro his quæ pertinent ad reipublicæ ſtatum, pro iis audiendis quæ à magiſtratibus nunciantur. Alius modus eſt, omnes ſimul conuenire, aut ſolùmodo ad

A ἦσαν δὲ αἱ ἀρχαῖαι πολιτεῖαι εὐλόγως ὀλιγαρχικαὶ, καὶ βασιλικαί· δι' ὀλιγανθρωπίαν γὰρ οὐκ εἶχον πολὺ τὸ μέσον. ὥστ' ὀλίγοι τε ὄντες τὸ πλῆθος, καὶ κατὰ τὴν σύνταξιν μᾶλλον ὑπέμενον τὸ ἄρχεσθαι. διὰ τίνα μὲν οὖν εἰσιν αἰτίαν αἱ πολιτεῖαι πλείους, καὶ διὰ τί παρὰ τὰς λεγομένας ἕτεραι· δημοκρατία τε γὰρ οὐ μία τὸν ἀριθμόν ἐστι, καὶ τῶν ἄλλων ὁμοίως· ἔτι δὲ, τίνες αἱ διαφοραὶ, καὶ διὰ τίνα αἰτίαν B συμβαίνει· πρὸς δὲ τούτοις τίς ἀρίστη τῶν πολιτειῶν, ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν, καὶ τῶν ἄλλων ποία ποίοις ἁρμόττει τῶν πολιτειῶν, εἴρηται.

Κεφάλαιον ιδ.

ΠΑλιν δὲ καὶ κοινῇ καὶ χωρὶς περὶ ἑκάστης λέγωμεν περὶ τῶν ἐφεξῆς, λαβόντες C ἀρχὴν τὴν προσήκουσαν αὐτῶν. ἔστι δὲ τρία μόρια τῶν πολιτειῶν πασῶν, περὶ ὧν δεῖ θεωρεῖν τὸν σπουδαῖον νομοθέτην, ἑκάστῃ τὸ συμφέρον. ὧν ἐχόντων καλῶς, ἀνάγκη τὴν πολιτείαν ἔχειν καλῶς, καὶ τὰς πολιτείας ἀλλήλων διαφέρειν, ἐν τῷ διαφέρειν ἕκαστον τούτων. ἔστι δὲ τῶν τριῶν τούτων, ἓν D μέν τι τὸ βουλευόμενον περὶ τῶν κοινῶν· δεύτερον δὲ, τὸ περὶ τὰς ἀρχάς. τοῦτο δ' ἐστὶν, ἃς δεῖ, καὶ τίνων εἶναι κυρίας· καὶ ποίαν τινὰ δεῖ γίγνεσθαι τὴν αἵρεσιν αὐτῶν. τρίτον δὲ, τί τὸ δικάζον. κύριον δ' ἐστὶ τὸ βουλευόμενον περὶ πολέμου καὶ εἰρήνης, καὶ συμμαχίας καὶ διαλύσεως, καὶ περὶ νόμων, καὶ περὶ θανάτου, καὶ φυγῆς, καὶ δημεύσεως, καὶ τῶν εὐθυνῶν. ἀναγκαῖον δ' ἤτοι πᾶσι τοῖς πολίταις ἀ- E ποδεδόσθαι ταύτας τὰς κρίσεις, ἢ τισὶ, πάσας· οἷον ἀρχῇ τινι μιᾷ, ἢ πλείοσιν, ἢ ἑτέραις ἑτέρας· ἢ, τινὰς μὲν αὐτῶν πᾶσι, τινὰς δὲ, τισί. τὸ μὲν οὖν πάντας καὶ περὶ ἁπάντων, δημοτικόν. τὴν τοιαύτην γὰρ ἰσότητα ζητεῖ ὁ δῆμος, εἰσὶ δὲ οἱ τρόποι τοῦ πάντας, πλείους· εἷς μὲν, τὸ κατὰ μέρος, ἀλλὰ μὴ πάντας ἀθρόους, ὥσπερ ἐν τῇ πολιτείᾳ τῇ Τηλεκλέους F ἐστὶ τοῦ Μιλησίου. καὶ ἐν ἄλλαις δὲ πολιτείαις βουλεύονται αἱ συναρχίαι συνιοῦσαι. εἰς δὲ τὰς ἀρχὰς βαδίζουσι πάντες κατὰ μέρος ἐκ τῶν φυλῶν, καὶ τῶν μορίων, τῶν ἐλαχίστων παντελῶς, ἕως ἂν διέλθῃ διὰ πάντων.) συνιέναι δὲ μόνον περὶ τε νόμων θέσεως, καὶ τῶν περὶ τῆς πολιτείας· καὶ τὰ παραγγελλόμενα ἀκουσομένους ὑπὸ τῶν ἀρχόντων. ἄλλος δὲ τρόπος, τὸ πάντας ἀθρόους· συνιέναι δὲ μόνον πρός τε τὰς ἀρχαιρε-